ᾧ αὐτὸς μοχθεῖ ὑπὸ τὸν ἥλιον;
23 ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ
ἀλγημάτων καὶ θυμοῦ περισπασμὸς αὐτοῦ,
καί γε ἐν νυκτὶ οὐ κοιμᾶται ἡ καρδία αὐτοῦ.
καί γε τοῦτο ματαιότης ἐστίν.
24 Οὐκ ἔστιν ἀγαθὸν ἐν ἀνθρώπῳ·
ὃ φάγεται καὶ ὃ πίεται καὶ ὃ δείξει τῇ ψυχῇ αὐτοῦ,
ἀγαθὸν ἐν μόχθῳ αὐτοῦ.
καί γε τοῦτο εἶδον ἐγὼ ὅτι ἀπὸ χειρὸς τοῦ θεοῦ ἐστιν·
25 ὅτι τίς φάγεται καὶ τίς φείσεται πάρεξ αὐτοῦ;
26 ὅτι τῷ ἀνθρώπῳ τῷ ἀγαθῷ
πρὸ προσώπου αὐτοῦ ἔδωκεν σοφίαν
καὶ γνῶσιν καὶ εὐφροσύνην·
καὶ τῷ ἁμαρτάνοντι ἔδωκεν περισπασμὸν
τοῦ προσθεῖναι καὶ τοῦ συναγαγεῖν
τοῦ δοῦναι τῷ ἀγαθῷ πρὸ προσώπου τοῦ θεοῦ·
ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.
3 1 Τοῖς πᾶσιν χρόνος,
καὶ καιρὸς τῷ παντὶ πράγματι ὑπὸ τὸν οὐρανόν.
2 καιρὸς τοῦ τεκεῖν καὶ καιρὸς τοῦ ἀποθανεῖν,
καιρὸς τοῦ φυτεῦσαι καὶ καιρὸς τοῦ ἐκτῖλαι πεφυτευμένον,
3 καιρὸς τοῦ ἀποκτεῖναι καὶ καιρὸς τοῦ ἰάσασθαι,
καιρὸς τοῦ καθελεῖν καὶ καιρὸς τοῦ οἰκοδομῆσαι,
4 καιρὸς τοῦ κλαῦσαι καὶ καιρὸς τοῦ γελάσαι,
καιρὸς τοῦ κόψασθαι καὶ καιρὸς τοῦ ὀρχήσασθαι,
5 καιρὸς τοῦ βαλεῖν λίθους καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους,
καιρὸς τοῦ περιλαβεῖν καὶ καιρὸς τοῦ μακρυνθῆναι ἀπὸ περιλήμψεως,
6 καιρὸς τοῦ ζητῆσαι καὶ καιρὸς τοῦ ἀπολέσαι,
καιρὸς τοῦ φυλάξαι καὶ καιρὸς τοῦ ἐκβαλεῖν,
7 καιρὸς τοῦ ῥῆξαι καὶ καιρὸς τοῦ ῥάψαι,
καιρὸς τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν,
8 καιρὸς τοῦ φιλῆσαι καὶ καιρὸς τοῦ μισῆσαι,
καιρὸς πολέμου καὶ καιρὸς εἰρήνης.
9 τίς περισσεία τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ;
10 εἶδον σὺν τὸν περισπασμόν, ὃν ἔδωκεν ὁ θεὸς

$22^3$ ω > S*† ‖ $24^1$ εν SV†] > BA | $24^2$ ο $1^0$] ος A*†, pr. πλην S^c | ο $2^0$ > A mu. ‖ 25 φεισεται *O*La†] πιεται mss. ‖ $26^5$ του $2^0$ > S
3 $1^1$ χρονος S*†] pr. ο rel. | $1^2$ τω / παντι πραγμ.] tr. B*† | ουρανον] ηλιον S^c ‖ $2^1$ καιρος $1^0$] pr. και S*† | $2^2$ πεφυτευμενον BS*†] -μενα V†, pr. το rel. ‖ $3^2$ οικοδομειν B† ‖ $5^2$ περιλημματος A ‖ $8^2$ πολεμου] pr. του S*† ‖ $10^1$ συν] + παντα BV† | περισπ.] πειρασμον A†: cf. 4 8 5 2. 13 8 16 et 1 13 bis. 2 23. 26 3 $10^2$ 5 19